# ΕΙΔΥΛΛΙΟΝ ΠΟΙΜΕΝΙΚΟΝ

*ΚΑΤΑ ΤΗΝ ΑΝΑΡΡΗΣΙΝ ΕΙΣ ΤΟ ΤΟΥ͂ ΙΑΤΡΟΥ*

*ΑΞΙΩΜΑ*

ΤΟΥ ΕΝ ΕΥΓΕΝΕΣΙΝ ΕΞΟΧΩΤΑΤΟΥ

ΚΥΡΙΟΥ

## ΑΝΤΩΝΙΟΥ ΤΙΠΑΛΔΟΥ

ΑΛΙΦΟΝΣΑΤΟΥ

ΤΟΥ ΕΚ ΚΕΦΑΛΗΝΙΑΣ

ὑπὸ

ΑΝΑΣΤΑΣΙΟΥ ΓΕΩΡΓΙΑΔΟΥ

ΦΙΛΙΠΠΟΥΠΟΛΙΤΟΥ ΙΑΤΡΟΥ ΚΑΙ ΧΕΙΡΟΥΡΓΟΥ

---

ΕΝ ΒΙΕΝΝΗ, 1807. ΙΟΥΛΙΟΥ 24.

ΛΑΓΑΝΑ
ΒΙΒΛΙΟΘΗΚΗ
ΓΕΩΡΓΙΟΥ
ΚΑΙ ΜΑΡΚΗΣΙΑΣ

Τοσοῦτον ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τοῦ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥσθ᾽ οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τῶν Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας δοκεῖν τεκμήριον εἶναι, καὶ μᾶλλον ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας, ἢ τοὺς τῆς κοινῆς φύσεως μετασχόντας.

Ἰσοκράτ. ἐν Πανηγυρικ.

Συλλογή Γεωργίου και Μαρκησίας Λαγανά-Βιβλιοθήκη Πανεπιστημίου Κύπρου



## ΜΕΝΑΛΚΑΣ *καὶ* ΘΥΡΣΙΣ.

### ΜΕΝΑΛΚΑΣ.

Ἀδύμεν ἀγλαόκαρπον ἄγαν Θύρσι φθινόπωρον,
Ἀγρώταις Φύσιος καλὰ ἱρῆς πάντα ὀπάσδον,
Τή ῥα ἑοῖσι θέρευς εἰν ἔργμασι πολλὰ καμοῦσα,
Ἄρχεται ἠρεμέειν Ζανὸς κατ' ἀμύμονα βωλάν.
Ἀδὺ δέτοι καὶ χεῖμα πόνων τέλος, ἀνίκα σακῷ
Εἰν εὐερκεῖ ὄεις μαλακὰν ἄγρωστιν ἔδοντι,
Τᾶς πνοιᾶς Βορέαο δυσαέος οὐκ ἀλέγοισαι,
Οὐδένυ μαλοφόνω λύκω ἀργήεντος ὀδόντος·
Ποιμὰν δ' εὐρυχόρῳ ἐν δώματι ἢ ἀλόχῳ ξὺν

Καὶ παισὶν τέρπει θυμὸν μύθοις ἰδὲ βάκχῳ
Πὰρ πυρὶ ἑσδόμενος, παίσδοντί δὲ νήπια τέκνα
Ἀλλήλοις ἐρίδονθ' ἵνα ματρὶ πλατίον ὦσιν.
Ἀλλ' ἐκ ἀρχομένω ἄλλο γλυκερώτερον ἦρος,
Ἅλιος ὄκχ' ὤναξ παγὰ φάεός τ' ἀλέας τε
Ὄμμασιν ἀσβέστοις τάκει χιόνα κρυόεσσαν,
Γαῖα δ' ἐπαντέλλησι χλόαν ἀπαλὰν ἰδὲ ἄνθη
Παντοῖα, ξουθὰ δὲ ἀηδὼν ἄρχετ' ἀεῖδεν,
Ἄγκεα οἷς τερπνοῖς μινυρίσμασιν ἀντιαχεῦσα·
Ποιμὰν δ' ἑσδόμενος ἐπ' ἐφάλῳ ῥωγάδι πέτρᾳ
Θυμὸν ἑὸν τέρπει συρίσδων, ἠὲ συνάπτων
δεσμίδα εἰαρινῶν ἐξ ἀνθῶν καλλιπαρήῳ
Κώρᾳ, τᾶς ἔραται ἐκ θυμῶ· πρωτόγονοι δὲ
Ἀρνειοὶ μασῶ κεκοραμένοι, ἅλμασι κούφοις
Ὀρχεῦνται μαλακᾷ ἐν ποίᾳ. Ἀλλά γ' ἐπειὴ
Χεῖμα μετὰ κρυερὸν πρᾶτον νῦν ἤνθομες ἄμφω
Πρώνας ἐς ὑψιτενεῖς Ῥοδοπείης εὐρυβάτοιο,
Δηθὰ δὲ εὐκελάδω σᾶς ἄμμορος ἐμμὶ ἀοιδᾶς,



Δεῦρο παρὰ κράνᾳ ἑσδώμεθα τᾷδε, Φιλίππω
Ἄστευς ἱρῶ ὅθεν λόφοι αἰπεῖς εἰσορόωνται,
Φαιδρὸν νᾶμ' Ἕβρωτε διϊπετέος ποταμοῖο,
Ὅς ῥα φίλης Πάτρης πέδον ἄρδει. Κ' ἦν ἐθέλῃσθα
Ὠδὰν ἀεῖσαίμοι ἐφίμερον, ἄλλοκα ὥς που
Ἆσας πρὸς Μίλωνα ἐρίσδων, τὰν κορύναν τιν
Δωσῶ ἐγὼν δῶρον τᾶς ᾠδᾶς. Τάν ποκα Αἵμω
Εἰν ἄγκεσσι πατὴρ τάμεν ἐκ δένδροιο κρανείης,
Λέψε δ' ἐπισταμένως φλοιὸν χλοερόν τ', ἰδὲ λείαν
Τεῦξέν γε ξυήλᾳ εὐθήκτῳ, χρῖσέ τε καρῷ,
Καρῷ ἀριστοπόνων γε δόμῳ κροκόεντι μελισσᾶν,
Δῶκε δ' ὅτ' ἦρξα πρᾶτον ὄεις νεμέμεν τριχομάλλως
Ἐν Ῥοδόπᾳ. Θᾶσαι ὡς λείη πανταχῆ ἐντὶ
Καὶ κνακὰ, φαίης κ' ἐκ πύξω δασκίω ἦμες.
Τᾷ λύκον αἱμωπὸν πρὰν ἔκτανον, ἀνίκ' ἔκειτο
Ἀσθενέων Λάμπουρος, ὃδ' αὐλίω ἕρκος ὑπερβὰς
Αἶψα διδυματόκον δαλήσατ' ὄϊν κατὰ δειρὰν
Οἰδαλέαν γε δακών. Τάν δη τεῒν ὦ φίλε δωσῶ

Πρόφρων, ἥν τέρψῃσπερ ἐμὸν πολυγαθέα θυμὸν
(Αἰὲν γὰρ χαίροντι μέμηλ' ᾠδᾶς τε χορῶ τε)
Πᾶνά τε καὶ Νύμφας κλείων, ἢ Ἑλλάδος αἴης
Ἥρως, ἢ ἄλλον τὸν ἐνὶ φρεσὶ θυμὸς ἀνώγει·
Χάρμα ἐπεὶ γλυκερὸν λάβεμ' ἁρμοῖ ἀμφὶ Τιπάλδῳ
Ἁμετέρῳ ἑτάρῳ Ἀντωνίῳ, ὅς ῥ' ἀεθλεύσας
τέχνης ἰητῆρος ἀπειρεσίῳ ἐν ἀγῶνι,
Ἐκ χειρῶν Φοίβοιο ἔδεκτο στέμμ' ἐπίδοξον.

ΘΥΡΣΙΣ.

Οὔτοι ἐγὼν Μοισᾶν καπυρὸν στόμα ἐμμὶ Μενάλκα,
Οὐδέποκ' ἀεῖδεν μάθον ἀνδρῶν εὐκλεᾶ ἔργα.
Ἀλλ' ἐπεὶ οὐκ ἄλλος πάρα Μοισᾶν ὧδ' ὑποφήτας,
Σιγῆν δ' οὐκ ἔξεσιν, ἐγώντιν μικκύλον ᾀσῶ
Τὸ πρὰν ἐξεπόνασα μελύδριον, ὡς στεφάνωσιν
ξυνῶ ἑταίρω ἔγνων Ἀντωνίω. Ἐντὶ δὲ ἐλπὶς
Καὶ τοιόνπερ ἐὸν ψάφω λευκᾶς τυχέειν περ.
Ἀνδρὶ γὰρ ἀγρώτᾳ φίλον αἰὲν θυμὸν ἰαίνει
Καὶ κρώσδοισα κορώνα, ὅκ' εἰσέτι ἀτθὶς ἀηδὼν



Σιγᾷ κρυπτομένα ᾧ φωλεῷ εἰν εὐπήκτῳ.
Ἄρχετε ποιμενικᾶς μελιαδεῦς Μῶσαι ἀοιδᾶς.
Ὦ κλεινὰ Ἑλλὰς, κουροτρόφε! ὦ πέδον ἱρόν!
Παγὰ ἀέναος πάντων ἀγαθῶν μερόπεσσι!
Σᾶς ποκα δεξάμενοι γᾶς ἀρχέγονοι ναετῆρες
Ἐκ τᾶς Φοινίκας κ' Αἰγύπτω σπέρματα μικρὰ
Τεχνάων σοφίης τε, ἐς ἀκμὰν ἆγον ἅπαντα.
Ἄρχετε ποιμενικᾶς κτλ.
Πολλὰ δ' ἐφεῦρον πρᾶτ' εἰδυίῃσι πραπίδεσσι
Τὰ πρότερον μερόπεσσ' οὐδ' ἐς νόον ἤλυθεν ἄλλοις,
Ἡ μὲν ὅσ' εὐαίωνα βίον γε τίθησι βροτοῖσι,
Πάντεσσιν θάλλοντα ἱμερτοῖς ἀγλαΐαις τε,
Ἠδ' ὅσα ἰδμοσυνᾶν πλαροῖ ψυχάν τε νόον τε.
Ἄρχετε ποιμενικᾶς κτλ.
Πάντων δ' ἦσαν πάντα ὑπέρτεροι ἐνναετᾶν γᾶς,
Ὅσσον δρῦς ῥάμνοιο ὑπερτέρη, ἀρτιτόκω τε
Ἀρνειῶ κριὸς, καὶ πόρτιος ὑψίκερως βῶς.
Ἄρχετε ποιμενικᾶς κτλ.

Ἐν σοὶ ἰδὲ Θρᾴκᾳ σᾷ γείτονι καλλιγύναικι
Ἀδυμελῶν πρᾶτον Μοισᾶν ἐγένοντο ἑταῖροι.
Μουσαῖος μελίγηρυς, ἰδ' Οὐρανίης φίλος υἱεύς.

Ἄρχετε ποιμενικᾶς κτλ.

Ὀρφεύς θ' ἁμέτερος κοίλας ἀργεῦς ἐπιβάτωρ,
Ὀρφεὺς ὃς τέρπεν τὼς ἥρως ᾗσιν ἀοιδαῖς,
Τοὶ πλέον ἐς Κόλχως μετὰ Κῶας χρυσεόμαλλον,
Θέλγε δὲ καὶ δένδρη φορμίσδων, θέλγε δὲ πέτρως.

Ἄρχετε ποιμενικᾶς κτλ.

Εἶτα κλεινὸς Ὅμηρος ἀοιδοπόλων ὄχ' ἄριςος,
Τῷ οὐκ ἄλλος ἔγεντο ὁμοῖος, οὐδέ τοι ἔςαι.

Ἄρχετε ποιμενικᾶς κτλ.

Σοίποκα ἀγρῶται ἤρξαντο πρᾶτοι ἀεῖδεν
Νύμφας Εὐπλοκάμως καὶ Πᾶν', ἐξ ὧ φιλομειδεῖς
Μῶσαι Ποιμένι δῶκαν ἐν ὑψηλῷ Ἑλικῶνι
Ἰρῆς δάφνης ὄζον, ἐνέπνευσάν τε ἀοιδὴν
Θείην, ὥςε κλύοι γε θεῶν γένος ἠδὲ καὶ ἀνδρῶν.

Ἄρχετε ποιμενικᾶς κτλ.



Τέχναν ἰητρῶν θεῖον χρῆμ' ἧμες ἔοικεν
Ἀνθρώπων νόσως ἀπαλάλκοισ' ἠδὲ μόρον περ
Ἀργαλέον· κὰν τᾷ σοὶ Ἐνναέται κλέος ἔχον
Πάμμεγα, ἐκ Φοίβω δεδαημένοι ἀργυροτόξω
Θείαν ἰδμοσύναν, ζωαρκέα, οὖρον ὑγείας.

Ἄρχετε ποιμενικᾶς κτλ.

Πρᾶτός δ' ἐν τοῖς ἦν Ἀσκλαπιὸς, εἶτα δυάς γε
Παίδων, ἀντίθεος Ποδαλείριος, ἠδὲ Μαχάων,
Τοίρα μεθ' ἡρώεσσιν Ἀχαιῶν αἰὲν ἐόντες
Ἐν Τροίῃ θέλγον πολυαλγέα πάματ' αὔτας,
Φάρμακα πάσσοντές γ' ἐπ' ἀεικέσιν ἤπια πλαγαῖς.

Ἄρχετε ποιμενικᾶς κτλ.

Φιλλυρίδας Χείρων θ', ὃς Πηλείδαν ἐδίδαξεν
Ἐχθρὼς ἐλομένως νικᾶν, κτείνειν τ' ἰδ' ἰᾶσθαι,
Δῖός θ' Ἱπποκράτης παγὰ ἱρὰ 'πιγενέσσι
Πολλῶν ἰδμοσυνῶν περ, ἀλεξικάκων τε ἀκεσμῶν.

Ἄρχετε ποιμενικᾶς κτλ.

Τί πρᾶτον, τί δ' ἔπειτ' ὀνομήνω θέσπιδι ᾠδᾷ,

Ο'σσ' ἄλλ' ὦ μᾶτέρσε ἀριςογόν' Ε'λλὰς ἐκόσμει;
Σιγῆν πολλῷ ἄμεινον, ἐπεὶ τάχα ἐδὲ νομεῦσι
Πάντεσσιν Ρ'οδόπας Αἵμωθ' οἱόντε ἀεῖδεν
(Α'ρχετε ποιμενικᾶς κτλ.)
Α'ρχαῖον σὸν κλεῖος, ὃ ἐρανὸν ἵκετο εὐρὺν,
Α'θανάτως θ' ἥρως, ἠδ' ἄλλως ὅσσοι ἄρισοι
Ε'ν τέχναις σοφίης τ' εἴδεσσιν πᾶσι γένοντο.
Α'ρχετε ποιμενικᾶς κτλ.
Παντᾶ σάματά περ σᾶς δόξας, παντᾶ ἀγαυὰ
Λείμματα ἰδμοσύνας ἀρχαίων σῶν Ναετήρων.
Α'ρχετε ποιμενικᾶς κτλ.
Πάντα δὲ σὰ πτολίεθρ' ἰδὲ κῶμαι εὐρύαλοί γε,
Πολλῶς θαυμασίως κλεινῶς τ' ἄνδρας τετρόφαντι.
Α'ρχετε ποιμενικᾶς κτλ.
Κ' ἤδη κἀν βερέθρῳ δεινῶν ἐσ' ἀχλυόεντι,
ἠδ' ἀγαθῶν εὖνις πάντων ὀλοὰν κατὰ μοῖραν,
Ε'ς φῶς αἰὲν ἄγεις, ὦ μᾶτερ πότνια Ε'λλάς!
Τέκνα τεῆς δόξης περ ἐπάξια, τοῖρα ἀπαυσὶ,



Ε'ς πρώταν ἀγαγεῖν σπεῖδοντίσε ὀλβιοτῆτα,
Ζαλωτὰν τ' αὖθις μερόπεσσιν πάντεσι θεῖναι.
Α'ρχετε ποιμενικᾶς κτλ.
Α'νίδε καὶ νᾶσος κυανάμπυξ ἁ Κεφαλήνων
Α'νδρὶ ἐπαυχεῖ νῦν πολυΐδρει ἔξοχον ἄλλων
Κλεινῷ Α'ντωνίῳ γε Τιπάλδῳ, ὅς κατὰ ἄςυ
Ι'ρὸν Παταβίοιο δάη σοφίης ἐρικυδεῦς
Εἴδεα νήριθμ' ἄλλα, ἰδ' ἱρᾶς βένθε' ἀκεςᾶν
(Α'ρχετε ποιμενικᾶς κτλ.)
Ι'δμοσύνας, τὰν φαντὶ ἅπαντες δυσχερῆ ἦμες
Λίαν, καὶ μακρὰν πρὸς τὰν μερόπων βιοτάν γε.
Α'ρμοῖ Βινδοβόνῃ δὲ ἐν ὑψιδόμῳ ἀεθλεύσας
Τέχνης ἰητῆρος ἀπειρεσίῳ ἐν ἀγῶνι,
Ε'κ χειρῶν Φοίβοιο ἔδεκτο σέμμ' ἐπίδοξον.
Λήγετε ποιμενικᾶς μελιαδεῦς Μῶσαι ἀοιδᾶς.
Κλεῖος δ' ἐντὶ πάτρας εὐάνορος ἀμφιβόητον,
Χάρματ' ἀπειρέσιον κασιγνήτων αἰὲν ἄλαςον
Δίῳ Ι'ωάννα, Κωνςαντίνῳ τ' ἀγακλειτῶ,

Λήγετε ποιμενικᾶς κτλ.

Τῶν ὅμεν ἐν τέχνῃ ζωαρκέϊ πάμμεγα κλεῖος
ἤραθ᾽, ὅδ᾽ Ὀθμανέων ὑποδρηςὴρ ἐντὶ Ἄνακτος
Βινδοβόνας εἰν αὐλᾷ ἑὰν δὶ ἀμύμονα μῆτιν.

Λήγετε ποιμενικᾶς κτλ.

Ἄμφω δ᾽ ὡσεὶ παῖδα κασίγνητόν γε φίλασαν,
Ἀτραπὸν ἀργαλέαν τ᾽ ἐς ναὸν Φοίβω ἄγοισαν
Ῥάονα θῆκαντ᾽ ἧμες ἀδελφῶ λειοτέρην τε,
Αἰὲν δαψιλέως τὰ χρηΐσδοντι διδόντες
Τοὶ τὰν ἱπποκράτειον ὁδὸν τελέειν ἐθέλοντες.

ΜΕΝΑΛΚΑΣ.

Κ᾽ εἰς ὥρας κ᾽ ἤπειτ᾽ ἐν καλῷ ὦ φίλος εἴης,
Τοιάδ᾽ ἐπιςάμενος ἀεῖδεν! τῶν ἀΐειν περ
Ποιμένι κρέσσον δὴν, ἢ βληχομένοιο ἀκούειν
Ἀρνειῶ ἀμαλῶ, ἢ κώδωνος βαρυήχω,
Τὸν κτίλω ἐκ δειρᾶς ποιμὰν αἰωρεῖ ἄγραυλος
Σᾶμ᾽ ἔμεν εἰροπόκοις πρόβασι σφῶν ἡγεμονῆος.
Λάζεο τὰν κορύναν ἄμαχον τεῒν ἔμμεναι ὅπλον.



Κ᾽ ἦν χρήσδῃς τυρῶ καὶ γρηὸς, δωσῶ ἐγώντοι,
Ἔςτ᾽ ἂν σῶν οἴων διδυμάονα ἔθατα πλαθῇ
Πιαλέοιο γάλακτος, ὃ σοί τ᾽ ἠδ᾽ ἄρνεσιν ἀρκεῖ:—

## ΣΗΜΕΙΩΣΙΣ.

Ἐν τῷ πρώτῳ Εἰδυλλίῳ (οὗ μίμησίς πως καὶ τὸ παρόν ἐςι) τάξιν τινα φαίνεται Θεόκριτος τετηρηκὼς ἐν τῇ ἐπαναλήψει τοῦ, ἄρχετε βωκολικᾶς κτλ. ὅδη μᾶλλον ἐν τῷ δευτέρῳ κατάδηλον γίνεται· ἀλλ᾽ ἔγωγε τῆς ἀκριβοῦς ταύτης μιμήσεως ἐν τῷ παρόντι εἰδυλλίῳ διηγηματικωτέρῳ ὄντι ἑκὼν παρημέλησα.